δυνατὸς ἐπανορθοῦν οἷς συνείη· πλεύσας δὲ δεῦρο πολλὴν
θάλατταν, ὡς συγγένοιτό σοι διὰ φιλοσοφίας, ἠμέληται’. ταῦτα
οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τῷ μὲν Πλάτωνι τὰς χεῖρας E
εὐθὺς περιβαλεῖν καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καὶ μεγα-
λοφροσύνην ἀγάμενον, τοῦ δ’ Αἰσχίνου καλῶς καὶ μεγαλοπρε-
πῶς ἐπιμεληθῆναι.

27. Δεύτερον τοίνυν ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν
καὶ γέλωτα καὶ σκῶμμα καὶ βωμολοχίαν ἡδύσματα πονηρὰ
τῆς παρρησίας ἀφαιρῶμεν. ὥσπερ γὰρ ἰατροῦ σάρκα τέμνον-
τος εὐρυθμίαν τινὰ δεῖ καὶ καθαριότητα τοῖς ἔργοις ἐπιτρέ-
χειν, ὀρχηστικὴν δὲ καὶ παράβολον καὶ περιτρέχουσαν ὑγρότητα
καὶ περιεργίαν ἀπεῖναι τῆς χειρός, οὕτως ἡ παρρησία δέχεται
τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον, ἂν ἡ χάρις τὴν σεμνότητα σῴζῃ,
θρασύτης δὲ καὶ βδελυρία καὶ ὕβρις προσοῦσα πάνυ διαφθεί- F
ρει καὶ ἀπόλλυσιν. ὅθεν ὁ μὲν ψάλτης οὐκ ἀπιθάνως οὐδ’
ἀμούσως ἐπεστόμισε τὸν Φίλιππον ἐπιχειροῦντα περὶ κρουμά-
των διαφέρεσθαι πρὸς αὐτόν, εἰπών ‘μὴ γένοιτό σοι οὕτως ὦ
βασιλεῦ κακῶς, ἵν’ ἐμοῦ ταῦτα βέλτιον εἰδῇς’. | Ἐπίχαρμος 68
δ’ οὐκ ὀρθῶς, τοῦ Ἱέρωνος ἀνελόντος ἐνίους τῶν συνήθων
καὶ μεθ’ ἡμέρας ὀλίγας καλέσαντος ἐπὶ δεῖπνον αὐτόν, ‘ἀλλὰ
πρῴην’ ἔφη ‘θύων τοὺς φίλους οὐκ ἐκάλεσας’. κακῶς δὲ καὶ
Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου ‘ποῖος
χαλκὸς ἄριστος’, ‘ἐκεῖνος’ εἶπεν, ‘ἐξ οὗ κατεσκεύασαν Ἀθηναῖοι
τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας’. οὔτε γὰρ ὠφελεῖ
τούτων τὸ λυπηρὸν καὶ πικρόν, οὔτε τέρπει τὸ βωμολόχον καὶ
παιδιῶδες, ἀλλ’ ἔστι κακοηθείᾳ καὶ ὕβρει μεμιγμένης ἀκρασίας
μετ’ ἔχθρας τὸ τοιοῦτον εἶδος, ᾧ χρώμενοι προσαπολλύουσιν
αὑτούς, τὴν περὶ τὸ φρέαρ ὄρχησιν ἀτεχνῶς ὀρχούμενοι. καὶ B